μόνος ὁ τῆς ♀ ἠῤῥενωμένος ᾖ, λάθρα καὶ οὐκ ἀναφανδόν. ἐὰν δὲ καὶ ὁ τοῦ ♂, ἄντικρυς, ὥστε ἐνίοτε καὶ ὡς πορνομίμους γυναῖκας διατιθεμένας ἀναδεικνύειν. τὸ δ' ἐναντίον, τῶν φώτων κατὰ τὸν ἐκκείμενον σχηματισμὸν ἐν θηλυκοῖς ὑπαρχόντων μόνων, αἱ μὲν γυναῖκες ὑπερβάλλουσι τοῦ κατὰ φύσιν, οἱ δὲ ἄνδρες τοῦ παρὰ φύσιν πρὸς τὸ εὔθρυπτον καὶ τεθηλυσμένον τῆς ψυχῆς. ἐὰν δὲ καὶ ὁ τῆς ♀ ᾖ τεθηλυσμένος, αἱ μὲν γυναῖκες καταφορεῖς καὶ μοιχάδες καὶ λάγνοι γίνονται πρὸς τὸ διατίθεσθαι παρὰ φύσιν ἐν παντί τε καιρῷ, καὶ ὑπὸ παντὸς τοῦ τινοσοῦν, ὡς μηδενὸς ἁπλῶς, ἐάν τε αἰσχρὸν ᾖ, ἐάν τε παράνομον ἀπέχεσθαι τῶν ἀφροδισίων, οἱ δ' ἄνδρες μαλακοί τε καὶ θαρσεῖς πρὸς τὰς παρὰ φύσιν συνουσίας, καὶ γυναικῶν ἔργα διατιθέμενοι παθητικῶς, ἀποκρύφως μέντοι καὶ λεληθότως. ἐὰν δὲ καὶ ὁ τοῦ ♂ ᾖ τεθηλυσμένος, ἄντικρυς καὶ μετὰ παῤῥησίας ἀναισχύντου τὰ προκείμενα καθ' ἑκάτερον εἶδος ἐπιτελοῦσι, τὸ πορνικὸν καὶ πολύκοινον, καὶ πολύψογον, καὶ πανάισχρον σχῆμα περιβαλλόμενοι, μέχρι τῆς κατὰ τὴν λοιδορίαν καὶ τὴν τῆς χρήσεως ὕβριν, συμφώσεως. συμβάλλονται δὲ καὶ οἱ μὲν ἀνατολικοὶ καὶ ἑῷοι σχηματισμοί, τοῦ τε τοῦ ♂, καὶ τοῦ τῆς ♀, πρός τε τὸ ἐπανδρότερον, καὶ διαβοητότερον, οἱ δὲ δυτικοὶ καὶ ἑσπέριοι πρός τε τὸ θηλυκώτερον, καὶ κατασταλτικώτερον, ὁμοίως δὲ, καὶ ὁ μὲν τοῦ ♄ προσγενόμενος, ἐπὶ τὸ ἀσελγέστερον καὶ ἀκαθαρτότερον, ᾗ καὶ ἐπονειδιστικώτερον, ἑκάστῳ τῶν ἐκκειμένων πέφυκε συνεργεῖν. ὁ δὲ τοῦ ♃, πρὸς τὸ εὐσχημονέστερον, καὶ αἰδημονέστερον, καὶ φυλακτικώτερον. ὁ δὲ τοῦ ☿, πρὸς τὸ περιβοητότερον, καὶ τῶν ἠθῶν εὐκινητότερον, καὶ πολυτροπώτερον, καὶ εὐπροσκοπώτερον.

Τὰ κεφάλαια, τοῦ τετάρτου βιβλίου.

Περὶ τύχης κτητικῆς.
Περὶ συναρμογῶν.
Περὶ ξενιτείας.
Περὶ ἐνιαυτῶν.
Περὶ τύχης ἀξιωματικῆς.
Περὶ τέκνων.
Περὶ θανάτου ποιότητος.
Περὶ πράξεων ποιότητος.
Περὶ φίλων καὶ ἐχθρῶν.
Περὶ χρόνων διαιρέσεως.